*ἀπαγγέλλων', ἐκεῖνον 'οὐκ εὐφημήσετε' φάναι 'γάμων ὄντων καὶ προάξετε θᾶσσον, ὡς ὑμᾶς τῆς θυσίας περιμενούσης;' πάντας μὲν οὖν ἡσθῆναι, τὸν δὲ Ζεύξιππον ἐρέσθαι, ⟨εἰ⟩ ἔτι χαλεπός ἐστι. 'πρῶτος μὲν οὖν' ⟨φάναι τὸν Διογ⟩ένη 'συνεχώρησε τῇ Ἰσμηνοδώρᾳ· καὶ νῦν ἑκὼν στέφανον καὶ λευκὸν ἱμάτιον λαβὼν οἷός ἐστιν ἡγεῖσθαι δι' ἀγορᾶς πρὸς τὸν θεόν.' 'ἀλλ' ἴωμεν, ναὶ μὰ*
E *Δία', τὸν πατέρ' εἰπεῖν 'ἴωμεν, ὅπως ἐπεγγελάσωμεν τῷ ἀνδρὶ καὶ τὸν θεὸν προσκυνήσωμεν· δῆλος γάρ ἐστι χαίρων καὶ παρὼν εὐμενὴς τοῖς πραττομένοις.'*

## 48.

# *ΕΡΩΤΙΚΑΙ ΔΙΗΓΗΣΕΙΣ

## (Plan. 49)

### A.

*Ἐν Ἁλιάρτῳ τῆς Βοιωτίας κόρη τις γίνεται κάλλει διαπρέπουσα ὄνομα Ἀριστόκλεια· θυγάτηρ δ' ἦν Θεοφά-*
F *νους. ταύτην μνῶνται Στράτων Ὀρχομένιος καὶ Καλλισθένης Ἁλιάρτιος. πλουσιώτερος δ' ἦν Στράτων καὶ μᾶλλόν τι τῆς παρθένου ἡττημένος· ἐτύγχανε γὰρ ἰδὼν*